ὁ ἀνὴρ οὗτος ταύτας τὰς ἐπιστολὰς ἔγραψεν. This man wrote those letters.

[The nominative forms of οὗτος are also used as personal pronouns, e.g. αὕτη καμήλους ἤσθιεν she used to eat camels.]

The corresponding adverb ('thus', 'in this way') is οὕτως.

Translation exercise 24

1. ἡ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ θεῷ ἐστι. (1 Cor. 3.19)
2. καὶ τὰ δέκα κέρατα ἃ εἶδες καὶ τὸ θηρίον, οὗτοι μισήσουσιν τὴν πόρνην. (Revelation 17.16)
3. ὥσπερ ἐνώτιον ἐν ῥινὶ ὑός, οὕτως γυναικὶ κακόφρονι κάλλος. (Proverbs 11.22)

The Eucharist

1. Ἐσθιόντων δὲ αὐτῶν λαβὼν ὁ Ἰησοῦς ἄρτον καὶ εὐλογήσας ἔκλασεν καὶ δοὺς τοῖς μαθηταῖς εἶπεν Λάβετε φάγετε, τοῦτό ἐστιν τὸ σῶμά μου. καὶ λαβὼν ποτήριον καὶ εὐχαριστήσας ἔδωκεν αὐτοῖς λέγων Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτο γάρ ἐστιν τὸ αἷμά μου τῆς διαθήκης τὸ περὶ πολλῶν ἐκχυννόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· (Matthew 26.26-8)

2. Καὶ ἐσθιόντων αὐτῶν λαβὼν ἄρτον εὐλογήσας ἔκλασεν καὶ ἔδωκεν αὐτοῖς καὶ εἶπεν Λάβετε, τοῦτό ἐστιν τὸ σῶμά μου. καὶ λαβὼν ποτήριον εὐχαριστήσας ἔδωκεν αὐτοῖς, καὶ ἔπιον ἐξ αὐτοῦ πάντες. καὶ εἶπεν αὐτοῖς Τοῦτό ἐστιν τὸ αἷμά μου τῆς διαθήκης τὸ ἐκχυννόμενον ὑπὲρ πολλῶν· (Mark 14.22-4)

3. καὶ λαβὼν ἄρτον εὐχαριστήσας ἔκλασεν καὶ ἔδωκεν αὐτοῖς λέγων Τοῦτό ἐστιν τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. καὶ τὸ ποτήριον ὡσαύτως μετὰ τὸ δειπνῆσαι, λέγων Τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐν τῷ αἵματί μου, τὸ ὑπὲρ ὑμῶν ἐκχυννόμενον. (Luke 22.19-20)

4. ὁ κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ ᾗ παρεδίδετο ἔλαβεν ἄρτον καὶ εὐχαριστήσας ἔκλασεν καὶ εἶπεν Τοῦτό μού ἐστιν τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων Τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι· (1 Corinthians 11.23-5)

ἄρτος bread
εὐλογέω praise, honour; (NT bless)
κλάω break
δοὺς nom.s.aor.part. < δίδωμι give (stem δο / δω)
ποτήριον cup
εὐχαριστέω give thanks
ἔδωκεν 3.s.aor.indic.act. < δίδωμι
διαθήκη agreement, covenant
ἐκχύνω later Greek for ἐκχέω pour out
ἄφεσις taking away
διδόμενον neut.pres.pass.part. < δίδωμι
ᾗ in which (fem.dat.s. < ὅς)
ἀνάμνησις recollection
ὡσαύτως likewise
δειπνέω dine
καινός new
παρεδίδετο 3.s.imperf.pass. < παραδίδωμι *betray.*

How Sir Isaac learned Greek

Among Sir Isaac Newton's books kept in the Wren Library of Trinity College Cambridge is a Greek primer called Ἐγχειρίδιον τῆς Ἑλλάδος φωνῆς (A Handbook of the Greek Language), published in 1653. In it are thousands of Greek sentences with their Latin translations on the facing page. Here are some sentences from this 350 year-old Greek course:

1. ἀγαθοὶ δύο ὑπὲρ τὸν ἕνα. (Homer)
2. ἄλλος βίος, ἄλλη δίαιτα.
3. ἀναγκαιότερος πυρὸς καὶ ὕδατος ὁ φίλος. (Plutarch)
4. γυναῖκα θάπτειν κρεῖσσον ἢ γαμεῖν. (Euripides)
5. γυνὴ γυναικὶ σύμμαχος. (Menander)
6. γυνὴ χρηστὴ πηδάλιον ἐστ' οἰκίας.
7. γλυκαίνει βουλιμία κυάμους.

ὑπέρ + acc. beyond;
ἄλλος (an)other;
δίαιτα way of life, regimen;
ἀναγκαιότερος comparative < ἀναγκαῖος necessary;
πυρός gen.s. < τὸ πῦρ fire;
ὕδατος gen.s. < τὸ ὕδωρ water;
θάπτω bury;
κρεῖσσον (adv) better;
ἤ than;
σύμμαχος ally;
πηδάλιον steering oar;
γλυκαίνω sweeten;
βουλιμία ravenous hunger;
κύαμος bean.

Homework Exercise 4

ὁ Πλάτων λέγει ὅτι Θαλῆς ὁ φιλόσοφος ἀστρονομῶν καὶ ἄνω βλέπων εἰς φρέαρ ἔπεσεν. θεράπαινα δέ τις ἰδοῦσα ἔσκωψεν αὐτόν, τοιάδε λέγουσα, "σὺ μὲν φιλόσοφος καλεῖ, ἀληθῶς δὲ μωρὸς εἶ. τὰ μὲν γὰρ ἐν οὐρανῷ θέλεις εἰδέναι, τὰ δὲ παρὰ πόδας σε λανθάνει." λέγει δὲ καὶ Πλάτων, ὅτι πάντες οἱ φιλόσοφοι πάσχουσι ταὐτόν, ὅπερ ὁ Θαλῆς. περὶ γὰρ τῶν μὴ παρόντων σπεύδουσι, τῶν δὲ παρόντων οὐ μέλει αὐτοῖς.

ἀστρονομέω do astronomy;
τὸ φρέαρ (φρέατος) well, cistern;
ἡ θεράπαινα maidservant;
X τις (τινος) a certain X;
σκώπτω mock;
τοιάδε as follows (lit. 'this sort of things) neut.pl. < τοιόσδε;
ἀληθῶς (adv) truly;
εἰδέναι infin. < οἶδα know;
λανθάνω escape notice (αὐτὸν λανθάνει escapes his notice;)
ταὐτόν = ταὐτό = τὸ αὐτό the same thing;
ὅπερ which;
παρόντων part. < πάρειμι be present;
σπεύδω strive after;
μέλει αὐτοῖς be a care to them.

Session 13

Table 20: Nouns with stems ending in –ι and -υ

ἡ πόλις (stem **πολι-**)

	Singular	Plural
Nom	πόλις	πόλεις
Voc	πόλι	πόλεις
Acc	πόλιν	πόλεις
Gen	πόλεως	πόλεων
Dat	πόλει	πόλεσι(ν)

τὸ ἄστυ (stem **ἀστυ-**)

Nom	ἄστυ	ἄστη
Voc	ἄστυ	ἄστη
Acc	ἄστυ	ἄστη
Gen	ἄστεως	ἄστεων
Dat	ἄστει	ἄστεσι(ν)

Notes:

1. As these are vowel stems, the acc.s. is in –ν
2. The gen.s. in –εως derives from an original –ηος by exchange of quantity (the e becomes short and the o becomes long).
3. The ending of the stems changes to –ε in gen. & dat. singular and throughout the plural.
4. The plural forms of nom. and acc. are the result of vowel contractions:
   ε-ες → εις (the acc. has the same form); ε-α → η

The noun πόλις denotes the city as a political entity. Derived from this are the terms πολίτης citizen; πολιτικός civic; πολιτεία government, constitution among many others. The word ἄστυ generally refers to the city as a place, rather than a political entity, and only to that part of the territory which is urban.

Translation exercise 25

1. αἱ γὰρ πόλεις εἴσ᾽ ἄνδρες, οὐκ ἐρημία. [Euripides fr. 622]
2. **Ἀτόσσα**: ἔτ᾽ ἆρ᾽ Ἀθηνῶν ἔστ᾽ ἀπόρθητος πόλις;

   Ἄγγελος: ἀνδρῶν γὰρ ὄντων ἕρκος ἐστὶν ἀσφαλές

   [Aeschylus *Persians* 348-9]
3. τῶν γὰρ δυναστῶν πλεῖστος ἐν πόλει λόγος. [Alcmene fr.94]
4. ἐμοι πόλις ἐστὶ καὶ καταφυγὴ καὶ νόμος

   καὶ τοῦ δικαίου τοῦ τ᾽ ἀδίκου παντὸς κριτὴς

   ὁ δεσπότης [Menander fr. 581]
5. Βίων ὁ σοφιστὴς τὴν φιλαργυρίαν μητρόπολιν ἔλεγε πάσης κακίας εἶναι. [Stob. iii.x.37]
6. ὕβρις φυτεύει τύραννον. [Sophocles *Oedipus the King* 873]
7. τόν τοι τύραννον εὐσεβεῖν οὐ ῥᾷδιον. [Sophocles *Ajax* 1350]
8. ὡς ὄψις ἐν ὀφθαλμῷ, νοῦς ἐν ψυχῇ. [Aristotle *Topics* i.17 108a11]
9. ἰσχὺς καὶ τεῖχος καὶ ὅπλον σοφοῦ ἡ φρόνησις. [Pythagoras]
10. πολιτεία ἐστὶ τῆς πόλεως τάξις. (Plato)

ἐρημία desert;
ἔτι still, yet;
ἀπόρθητος unsacked;
ἕρκος bulwark;
ἀσφαλές neut.nom.s. < ἀσφαλής secure;
δυνάστης master, ruler;
πλεῖστος superlative < πολύς much;
καταφυγή refuge;
δεσπότης master;
σοφιστής wise man; sophist;
φιλαργυρία love of money;
ὕβρις violence, arrogance;
φυτεύω beget;
τύραννος tyrant;
τοι conversational particle 'you know';
εὐσεβέω act/live religiously;
ῥᾷδιος easy; (ῥᾷδιον ἐστι X [acc.] Y [infin.] = it is easy for X to Y);
ὄψις sight;
νοῦς mind, intelligence;
ἰσχύς strength;
τὸ τεῖχος wall;
φρόνησις prudence, practical wisdom
πολιτεία form of government; constitution
τάξις an arranging.

Table 21: Personal Pronouns

		1st person	2nd person
	N	ἐγώ	σύ
	A	με/ἐμέ	σέ
Sing	G	μοῦ/ἐμοῦ	σοῦ
	D	μοί/ἐμοί	σοί
	N	ἡμεῖς	ὑμεῖς
	A	ἡμᾶς	ὑμᾶς
Plur	G	ἡμῶν	ὑμῶν
	D	ἡμῖν	ὑμῖν

Note: The longer forms of the first person singular are emphatic.

		3rd person		
		Masc.	Fem.	Neut.
	N	οὗτος/αὐτός	αὕτη/αὐτή	τοῦτο/αὐτό
	A	αὐτόν	αὐτήν	αὐτό
Sing	G	αὐτοῦ	αὐτῆς	αὐτοῦ
	D	αὐτῷ	αὐτῇ	αὐτῷ
	N	οὗτοι/αὐτοί	αὗται/αὐταί	ταῦτα/αὐτά
	A	αὐτούς	αὐτάς	αὐτά
Plur	G	αὐτῶν	αὐτῶν	αὐτῶν
	D	αὐτοῖς	αὐταῖς	αὐτοῖς

Note: The first forms given for the nominative are those regularly used in Attic Greek (these are forms borrowed from the demonstrative pronoun). The second forms are used in Hellenistic Greek.

Translation exercise 26

1. ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται. [Luke 12.34]
2. λέγει αὐτῷ, Ἐκ τοῦ στόματός σου κρινῶ σε, πονηρὲ δοῦλε. [Luke 19.22]
3. ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρελεύσονται. [Luke 21.33]

4. καὶ εἶπεν αὐτῷ, Ἀμήν σοι λέγω, σήμερον μετ᾽ ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. [Luke 23.43]

5. εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. [John 15.18]

ὅπου wherever;
στόματος gen.s. < τὸ στόμα mouth;
κρινῶ 1.s.fut. < κρίνω judge;
παρελεύσονται 3.pl.fut. < παρέρχομαι pass away;
οὐ μή used with the future to express an emphatic negative;
ἀμήν truly (an Aramaic word);
σήμερον today;
ὁ κόσμος world;
ὁ παράδεισος garden;
γινώσκετε 2.pl.imperative < γινώσκω know;
ὅτι that;
μεμίσηκεν 3.s.perfect < μισέω.

Homework exercise 5

μετὰ δὲ τὸν τοῦ πατρὸς θάνατον ὁ Ξέρξης ἦρχε τῶν Περσῶν. ὅτι δὲ ἤθελε κολάσαι τοὺς Ἕλληνας διὰ τὰς ἀδικίας, ἐβούλευσε διαβῆναι τὸν Ἑλλήσποντον καὶ ἄγειν στράτευμα διὰ τῆς Εὐρώπης ἐπὶ τὴν Ἑλλάδα· ἐκέλευσεν οὖν Φοίνικας καὶ Αἰγυπτίους δύο γεφύρας κατασκευάσαι. ἐπεὶ δὲ ἔπραξαν τὸ ἔργον, χειμὼν μέγιστος διέλυσε τὰς γεφύρας. ὁ οὖν Ξέρξης, ὅτε ἔμαθεν, μάλιστα ἐχαλέπαινε καὶ ἐκέλευσε τοὺς ἄνδρας οὐ μόνον τόν τε Ἑλλήσποντον τριακοσίαις πληγαῖς τύψαι καὶ δύο πέδας εἰς αὐτὸν βαλεῖν, ἀλλὰ καὶ ἀποτεμεῖν τὰς τῶν ἐπιστατῶν κεφαλάς. ἔπειτα δὲ ἄλλους ἐπιστάτας ἐκέλευσε κατασκευάσαι τὰς γεφύρας.

ἄρχω rule over (+ gen.);
Πέρσης (-ου) Persian;
κολάζω punish;
ἀδικία injustice;
βουλεύω plan; decide
Φοῖνιξ (Φοίνικος) Phoenician;
Αἰγύπτιος Egyptian;
γεφύρα (-ας) bridge
ἔπραξαν 3.pl.aor. < πράττω (root πραγ -);
μέγιστος very great;
διαλύω destroy;
οὖν so, then, therefore;
χαλεπαίνω get angry;
μόνον (adv.) only;
τριακόσια three hundred;
πλήγη stroke;
πέδη fetter;
ἀποτέμνω cut off;
ἐπιστάτης (-ου) overseer;
ἔπειτα then, next;
ἄλλος other.

Session 14

Table 22: The Future Passive

	Singular	Plural
1st person	λυθήσομαι	λυθησόμεθα
2nd person	λυθήσῃ	λυθήσεσθε
3rd person	λυθήσεται	λυθήσονται

e.g. λυθήσεται *she will be loosed;*

δοθήσεται *it will be given* [δίδωμι give (root δο-)];

κοιμηθήσεσθε *you will sleep* [= *you will be put to sleep;* κοιμάω *put to sleep*]

Some verbs with stems ending in consonants drop the θ:

e.g. γραφήσεται *it will be written;*

ἀνοιγήσεται *it will be opened* [ἀνοίγω *open*];

ἀλλαγήσονται *they will be changed* ἀλλάσσω *to change* (root ἀλλαγ)]

Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει καὶ ὁ ζητῶν εὑρίσκει καὶ τῷ κρούοντι ἀνοιγήσεται. (Matt. 7.7 –8)

αἰτεῖτε, ζητεῖτε, κρούετε 2.pl. imperatives < αἰτέω ask; ζητέω seek; κρούω knock; εὑρήσετε 2.s.fut. < εὑρίσκω find.

The impersonal use of δεῖ

The verb δέω (to bind) is used in the third person singular to express necessity:

e.g. δεῖ τὸν ἄνδρα γράψαι *The man must write* [lit. 'it is binding to write in respect of the man'] The construction is δεῖ + accusative + infinitive.

1. δεῖ τοῖσι πολλοῖς τὸν τύραννον ἀνδάνειν. [Eur. fr.171]
2. δεῖ μάλιστα τὸ μίκρον φυλάττειν. (Athen.)

τοῖσι early form of τοῖς; ἀνδάνω please; μάλιστα (adv) most

A libretto

ἰδοὺ μυστήριον ὑμῖν λέγω· πάντες οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα, ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι· σαλπίσει γάρ, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα. δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. ὅταν δὲ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος,

Κατεπόθη ὁ θάνατος εἰς νῖκος.

ποῦ σου, θάνατε, τὸ νῖκος;

ποῦ σου, θάνατε, τὸ κέντρον;

τὸ δὲ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία, ἡ δὲ δύναμις τῆς ἁμαρτίας ὁ νόμος· τῷ δὲ θεῷ χάρις τῷ διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. [Πρὸς Κορινθίους 1 15.51-8]

ἄτομος indivisible (τὸ ἄτομον instant);
ῥίπη rapid movement; blink;
σαλπίζω trumpet;
νεκρός corpse (οἱ νεκροί the dead);
ἄφθαρτος incorruptible, imperishable;
ἐνδύσασθαι aor.mid.inf. < ἐνδύομαι put on (clothes);
ἀφθαρσία incorruption;
θνητός mortal; ἀθανασία immortality;
ὅταν when(ever);
τότε then;
γενήσεται 3.s.fut. < γίγνομαι become; be;
γεγραμμένος perf.pass.part. < γράφω;
κατεπόθη is swallowed up;
θάνατος death;
νῖκος = νική victory;
κέντρον goad, sting;
ἁμαρτία mistake, error; sin;
δύναμις power, capacity, potentiality;
χάρις thanks;
διδόντι masc.dat.s.part. < δίδωμι give.

More sentences from Seidel's Ἐγχειρίδιον τῆς Ἑλλάδος φωνῆς (1653)

1. ἀρχὴ σοφίας φόβος Κυρίου. (Prov. 1.7)
2. ἐν τοῖς τόποις τῶν τυφλῶν στραβὸς βασιλεύει.
3. καρκῖνος λαγωὸν οὐχ αἱρεῖ.
4. κώνωπας ἐλέφας οὐκ ἀλεγίζει.
5. αἱ ὁδοὶ ἀσεβῶν σκότειναι. (Pro. 4.19)
6. ἅπας ἐχίνος τραχύς. (Aristoph.)
7. ἄνθρωπος ὡσεὶ χόρτος καὶ ἄνθος τοῦ ἀγροῦ. (Ps. 103.15)
8. ἀνήρ ἐστιν κεφαλὴ τῆς γυναικός. (Eph. 5.23)
9. ἄρχων Θεοῦ διάκονός ἐστι. (Rom. 13.4)
10. ἀθάνατον χρῆμα ἡ ἀλήθεια καὶ ἀΐδιον. (Epictetus)

ἀρχή beginning;
τόπος place;
τυφλός blind;
στραβός squinting;
καρκῖνος crab;
λαγωός hare;
κώνωψ gnat;
ἐλέφας elephant;
ἀλεγίζω trouble oneself about;
ἀσεβής impious;
σκότεινος dark;
ἐχίνος hedgehog;
τραχύς rough;
χόρτος fodder;
ἄνθος flower;
ἄρχων (-οντος) magistrate;
διάκονος deacon;
χρῆμα thing;
ἀΐδιος everlasting.

Homework exercise 6: Hermes and craftsmen

Ζεὺς Ἑρμῇ προσέταξε πᾶσι τοῖς τεχνίταις ψεύδους φάρμακον χέαι. ὁ δὲ τοῦτο τρίψας καὶ μέτρον ποιήσας ἴσον ἑκάστῳ ἐνέχει. ἐπεὶ δέ, μόνου τοῦ σκυτέως ὑπολειφθέντος, πολὺ φάρμακον κατελείπετο, λαβὼν ὅλην τὴν χύσιν κατ' αὐτοῦ κατέχεεν. ἐκ τούτου συνέβη τοὺς τεχνίτας πάντας ψεύδεσθαι, μάλιστα δὲ πάντων τοὺς σκυτέας.

Πρὸς ἄνδρα ψευδολόγον ὁ λόγος εὔκαιρος. [Aesop]

προστάσσω assign to (+ dat.)
τεχνίτης craftsman
ψεύδους gen.s. < ψεύδος lie, falsehood
χέαι aor.inf. < χέω pour
τρίψας aor.part. τρίβω < grind, crush
ἐνέχει imperf. < ἐγχέω pour in
σκυτέως gen.s. < σκυτεύς cobbler
ὑπολειφθέντος gen.s.aor.pass.part. < ὑπολείπω leave remaining
καταλείπω leave remaining
ὅλος whole
χύσις pouring (i.e. thing to be poured)
καταχέω κατ' αὐτοῦ pour down on him
συνέβη 3.s.aor. < συμβαίνω happen, turn out
ψεύδομαι lie
ψευδολόγος liar
εὔκαιρος timely

Session 15

Table 23: The future and aorist middle

	Future		Aorist	
	Singular	Plural	Singular	Plural
1	-σομαι	-σομεθα	-σαμην	-σαμεθα
2	-σει/σῃ	-σεσθε	-σω (< -σασο)	-σασθε
3	-σεται	-σονται	-σατο	-σαντο
Infinitive	-σεσθαι		-σασθαι	

Notes:

(1) The future middle inserts -σ- between stem and ending (like the active).

(2) The aorist middle substitutes -σα- for the thematic vowel (-ο-/-ε-) of the imperfect.

(3) Middle verbs with strong aorists are constructed as in the active: the imperfect endings are added to the aorist stem. Some of these are very common verbs:

αἰσθάνομαι aor. ᾐσθόμην; γίγνομαι aor. ἐγενόμην

(4) One very common verb has a middle present but an active strong aorist:

ἔρχομαι aor. ἦλθον

(5) Some verbs have middle presents and passive aorists:

βούλομαι aor. ἐβουλήθην;

οἴομαι aor. οἰήθην;

ἀποκρίνομαι aor. ἀπεκρίθην

Translation exercise 27

1. Λεωνίδης ἀκούσας ἐπισκιάζεσθαι τὸν ἥλιον τοῖς Περσῶν τοξεύμασιν "χαρίεν" ἔφη "ὅτι καὶ ὑπὸ σκιᾷ μαχούμεθα." [Stob.iii.vii.45]

2. Ἄγις ὁ βασιλεὺς ἔφη τοὺς Λακεδαιμονίους μὴ ἐρωτᾶν ὁπόσοι εἰσίν, ἀλλὰ ποῦ εἰσὶν οἱ πολέμιοι. καὶ ἐρωτῶντός τινος πόσοι εἰσὶν Λακεδαιμόνιοι, ἔφη "ἱκανοὶ τοὺς κακοὺς ἀπερύκειν." [Stob.iii.vii.47]

3. οὐκ αἰσχύνεται ὁ φιλόσοφος τῇ φιλοτεκνίᾳ, ὥσπερ οὐδὲ τῇ φιλοσοφίᾳ τε καὶ φιλολογίᾳ. [Themistius Metriopathes p.363C]

4. ἁλωτὰ γίνετ᾽ ἐπιμελείᾳ καὶ πόνῳ ἅπαντα. [Menander]

5. Πλάτων παρεκελεύετο τοῖς μαθηταῖς τρία ταῦτα ἔχειν· ἐπὶ μὲν τῆς γνώμης σωφροσύνην, ἐπὶ δὲ τῆς γλώττης σιγὴν, ἐπὶ δὲ τῶν ὀφθαλμίων αἰδῶ. [Stob. ii.xxxi.62]

ἐπισκιάζω cast in shadow;
τοξεῦμα arrow;
χαρίεν neut.nom.s. < χαρίεις lovely;
μαχούμεθα (< μαχεσόμεθα) fut. < μάχομαι *fight;*
ἐρωτάω ask;
ὁπόσος how much (pl. how many);
ἱκανός enough;
ἀπερύκω keep off;
αἰσχύνομαι be ashamed;
φιλοτεκνία love of children;
φιλολογία love of learning;
ἁλωτός attainable;
ἐπιμέλεια care, attention;
πόνος toil;
παρακελεύομαι advise;
γνώμη mind; judgment;
σωφροσύνη good sense;
τὰ ὀφθαλμία the region about the eyes;
αἰδῶ acc.s. < αἰδώς shame, modesty, self-respect.

Homework exercise 7

ὁ οὖν Κῦρος αὐτὸν ἔλυσε καὶ ἐγγὺς καθεῖσεν. ὁ δὲ Κροῖσος αὖθις ἔλεξεν· ὦ Κῦρε, τί πράττουσιν οἱ στρατιῶταί σου; τὴν πόλιν σου, ἔφη ὁ Κῦρος, ἁρπάζουσι καὶ τὸν πλοῦτόν σου ἐκφέρουσιν. οὐχ ἁρπάζουσι τὴν πόλιν μου, ἔφη ὁ Κροῖσος, οὐδὲ τὸν πλοῦτον· οὐδὲν γὰρ ἐμοί ἐστιν. ἀλλὰ σὲ φέρουσί τε καὶ ἄγουσιν. μετὰ δὲ τοῦτο φίλος ἦν αὐτῷ· τὴν γὰρ σοφίαν αὐτοῦ ἐν τιμῇ εἶχεν ὁ Κῦρος.

ἐγγύς *nearby*;
καθεῖσεν 3.s.aor. < καθίζω *make sit*;
αὖθις *again; next;*
τί *what?*
πράττω *do;*
πόλις *city;*
ἔφη 3.s.aor. < φημί *say;*
ἁρπάζω *seize; plunder;*
ἐκφέρω *carry out;*
οὐδέν *nothing;*
ἐμοί possessive dative 'mine';
ἄγω καὶ φέρω *plunder and carry off;*
ἦν 3.s.imperfect < εἰμί;
τιμή *honour;*
εἶχεν 3.s.imperfect < ἔχω *have, hold.*

Table 24: Aorist active of verbs like βαίνω

The verbs given below form their aorist active with the following endings:

	Singular	Plural
1st person	-ν	-μεν
2nd person	-ς	-τε
3rd person	-	-σαν

present active		*aorist active*	
βαίνω	go	ἔβη-ν	went
γιγνώσκω	know	ἔγνω-ν	knew
τρέχω	run	ἔδρα-ν	ran
δύω	enter	ἔδυ-ν	entered
τλάω	endure	ἔτλη-ν	endured
φθάνω	overtake, outstrip	ἔφθη-ν	overtook, outstripped
φύω	produce, grow	ἔφυ-ν	grew

e.g.

	Singular	Plural
1st person	ἔβην	ἔβημεν
2nd person	ἔβης	ἔβητε
3rd person	ἔβη	ἔβησαν

Translation exercise 28

1. καὶ ἀπολύσας τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος κατ᾽ ἰδίαν προσεύξασθαι. (Matt. 14.23)
2. Καὶ ἀπολύσας τοὺς ὄχλους ἐνέβη εἰς τὸ πλοῖον, καὶ ἦλθεν εἰς τὰ ὅρια Μαγαδάν. (Matt. 15.39)
3. καὶ ἀνέβη πρὸς αὐτοὺς εἰς τὸ πλοῖον, καὶ ἐκόπασεν ὁ ἄνεμος. (Mark. 6.51)

4. Ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι, ὁ εἷς Φαρισαῖος καὶ ὁ ἕτερος τελώνης. (Luke 18.10)

5. Ὡς δὲ ὀψία ἐγένετο κατέβησαν οἱ μαθηταὶ αὐτοῦ ἐπὶ τὴν θάλασσαν, 17 καὶ ἐμβάντες εἰς πλοῖον ἤρχοντο πέραν τῆς θαλάσσης εἰς Καφαρναούμ. (John 6.17)

6. ὅτε οὖν εἶδεν ὁ ὄχλος ὅτι Ἰησοῦς οὐκ ἔστιν ἐκεῖ οὐδὲ οἱ μαθηταὶ αὐτοῦ, ἐνέβησαν αὐτοὶ εἰς τὰ πλοιάρια καὶ ἦλθον εἰς Καφαρναοὺμ ζητοῦντες τὸν Ἰησοῦν. (John 6.24)

7. Ὡς δὲ ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ εἰς τὴν ἑορτήν, τότε καὶ αὐτὸς ἀνέβη, οὐ φανερῶς ἀλλ᾽ ἐν κρυπτῷ. (John 7.10)

ἀπολύω disband, dismiss
ὄρος (gen. ὄρους) mountain
προσεύξασθαι aor.inf. < προσεύχομαι pray
ὅρια frontier (pl. < ὅριον boundary)
πλοῖον vessel
κοπάζω grow weary; abate
τελώνης tax-collector
ὡς when
ὀψία late
ἐμβαίνω embark
πέραν (adv) on the other side; beyond
ὅτε when
ἐκεῖ there
πλοιάριον small boat (dim. < πλοῖον)
ζητέω seek
ἑορτή festival
τότε then
φανερῶς openly
ἐν κρυπτῷ secretly (κρυπτός hidden)

Table 25: The perfect active

	Singular	Plural
1st person	λέλυκα	λελύκαμεν
2nd person	λέλυκας	λελύκατε
3rd person	λέλυκε(ν)	λελύκασι

Translation exercise 29

1. καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου. (John 3.13)

2. Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ὁ τὸν λόγον μου ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. (John 5.24)

3. Ἐγόγγυζον οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ ὅτι εἶπεν, Ἐγώ εἰμι ὁ ἄρτος ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ, καὶ ἔλεγον, Οὐχ οὗτός ἐστιν Ἰησοῦς ὁ υἱὸς Ἰωσήφ, οὗ ἡμεῖς

οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; πῶς νῦν λέγει ὅτι Ἐκ τοῦ οὐρανοῦ καταβέβηκα; (John 6.41-2)

Session 16

Table 26: Weak aorist indicative passive

This is constructed by adding - θη - to the stem and then the endings of the aorist of βαίνω given above (p.61).

	Singular	Plural
1	ἐ-λύ-θη-ν I was loosed	ἐ-λύ-θη-μεν
2	ἐ-λύ-θη-ς	ἐ-λύ-θη-τε
3	ἐ-λύ-θη-	ἐ-λύ-θη-σαν

infinitive λυ-θῆ-ναι

participle λυ-θ-είς λυ-θ-εῖσα λυ-θ-έν (stem λυ-θ-έντ-)

Translation exercise 30

1. οὐ γὰρ τὸ μὴ λαβεῖν τἀγαθὰ οὕτω χαλεπὸν ὡς τὸ λαβόντα στερηθῆναι. [Xenophon Cyr. vii.5.82]

2. Θαλὴς ὁ Μιλήσιος ἐρωτηθεὶς πόσον ἀπέχει τὸ ψεῦδος τοῦ ἀληθοῦς "ὅσον" ἔφη "ὀφθαλμοὶ τῶν ὤτων."

3. Δημοσθένης ὁ ῥήτωρ ἔφη πόλεως εἶναι ψυχὴν τοὺς νόμους· 'ὥσπερ γὰρ σῶμα στερηθὲν ψυχῆς πίπτει, οὕτω καὶ πόλις μὴ ὄντων νόμων καταλύεται.' [Stob. iv.i.144]

4. Ἀριστοτέλης φησὶν ὅτι ὀκτώ τινες κοινῇ ληστεύοντες ἐστασίασαν πρὸς ἀλλήλους περὶ τῶν σύλων καὶ τέσσαρες αὐτῶν κατελείφθησαν· πάλιν οὗτοι πρὸς ἀλλήλους διηνέχθησαν, καὶ δύο κατελείφθησαν, εἶτα εἷς· καὶ τί ὑπόλοιπον ἢ στασιάσαι τὰ δεξιὰ πρὸς τὰ εὐώνυμα; [Stob. iii.x.49]

5. Ἀρκεσίλαος ὁρῶν τινα νεανίσκον φιλοσόφων λόγων κατακούοντα πρὶν παιδευθῆναι, οὐδὲ τοὺς τῆς Δήμητρος, ἔφη, καρποὺς καλλίστους καὶ τροφιμωτάτους ὄντας εὐθὺς ἐκ γενετῆς τοῖς παισὶν ἁρμόζειν, τὸ δὲ γάλα τῶν τιτθῶν. [Stob.ii.xxxi.28]

6. Ἀνάχαρσις ὁ Σκύθης ἐρωτηθεὶς ὑπό τινος, τί πολέμιον ἀνθρώποις, "αὐτοί" ἔφη "ἑαυτοῖς" [Stob. iii.ii.42]

7. Περίανδρος ἐρωτηθείς, τί μέγιστον ἐν ἐλαχίστῳ, εἶπε "φρένες ἀγαθαὶ ἐν σώματι ἀνθρώπου." [Stob.iii.iii.45]

8. πολλοὶ ἀδικηθέντες ὑπὸ ῥητόρων τοὺς υἱοὺς ῥήτορας διδάσκουσιν, οὐδεὶς δὲ δηχθεὶς ὑπὸ λύκου αὐτὸς λύκος γίνεται καὶ ἀντιδάκνει. [Aristonymus]

9. Θεόκριτος ἐρωτηθεὶς ποῖα τῶν θηρίων ἐστὶ τὰ χαλεπώτατα, εἶπεν "ἐν μὲν τοῖς ὄρεσιν ἄρκτοι καὶ λέοντες. ἐν δὲ ταῖς πόλεσι τελῶναι καὶ συκοφάνται" [Stob. iii.ii.33]

10. Ἀριστοτέλης ὁ Περιπατητικὸς ἐρωτηθεὶς ὑπό τινος, τί μάλιστα δεῖ ἀσκεῖν τοὺς νέους, εἶπε "παιδείαν". [Stob.ii.xxxi.30]

λαβεῖν aor.inf. < λαμβάνω *take, sieze*
χαλεπός *harsh, difficult*
στερηθῆναι aor.pass.inf. < στερέω *deprive*
ἐρωτηθείς aor.pass.part. < ἐρωτάω *ask*
πόσος *how much*
ἀπέχω *be distant from* (+ gen.)
τὸ ψεῦδος *falsehood*
ἀληθοῦς neuter gen.s. < ἀληθής *true*
ὅσος *as much as*
ἔφη 3.s.aor. < φημί *say*
ὤτων gen.pl. < οὖς *ear*
ῥήτωρ *orator*
πίπτω *fall*
καταλύω *destroy*
φησίν 3.s. < φημί
ληστεύω *practise piracy; be a brigand*
στασίαζω *rebel, revolt; fall out*
σῦλον *booty*
κατελείφθησαν 3.pl.aor.pass. < καταλείπω *leave behind*
ἀλλήλους *one another*
διηνέχθησαν 3 pl.aor.pass. < διαφέρω *differ*
εἶτα *then, next*
ὑπόλοιπος *left behind*
εὐώνυμος *of good name* (euphemism for *on the left*)
ὁρῶν part. < ὁράω *see*
νεανίσκος *young man*
κατακούω *hear and obey; give ear to*
πρίν *before* (+ infin.)
παιδευθῆναι aor.pass.inf. < παιδεύω *educate*
εὐθύς *straight away*
γενετή *the hour of birth*
ἁρμόζω *be adapted for* (+ dat.)
τὸ γάλα (γάλακτος) *milk*
τίτθη *nurse*
ἑαυτόν *himself*
φρένες *mind, sense* (pl. < ἡ φρήν)
ἀδικέω *do wrong*
διδάσκω *teach*
οὐδείς *no-one*
ἀντιδάκνω *bite in return*
ποῖος *what sort*
θηρίον *beast*
ὄρεσιν dat.pl. < τὸ ὄρος *mountain*
τελῶνης *tax-gatherer*
συκοφάντης *informer*
ἀσκέω *practise, pursue; train*

Hellenistic Greek examples

1. οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου. (Luke 15.19)

2. ὠργίσθη δὲ καὶ οὐκ ἤθελεν εἰσελθεῖν, ὁ δὲ πατὴρ αὐτοῦ ἐξελθὼν παρεκάλει αὐτόν. (Luke 15.28)

3. εἶπεν δὲ πρὸς αὐτούς, Οὗτοι οἱ λόγοι μου οὓς ἐλάλησα πρὸς ὑμᾶς ἔτι ὢν σὺν ὑμῖν, ὅτι δεῖ πληρωθῆναι πάντα τὰ γεγραμμένα ἐν τῷ νόμῳ Μωϋσέως καὶ τοῖς προφήταις καὶ ψαλμοῖς περὶ ἐμοῦ. (Luke 24.44)

4. καὶ πολλοὶ λεπροὶ ἦσαν ἐν τῷ Ἰσραὴλ ἐπὶ Ἐλισαίου τοῦ προφήτου, καὶ οὐδεὶς αὐτῶν ἐκαθαρίσθη εἰ μὴ Ναιμὰν ὁ Σῦρος. (Luke 4.27)

οὐκέτι no longer;
ἄξιος worthy;
κληθῆναι aorist pass. of καλέω call;
ὀργίζω make angry (pass. grow angry);
παρακαλέω summon; invite; exhort;
ἔτι still;
πληρόω fill; fulfill;
γεγραμμένα perf.pass.part. < γράφω;
Μωϋσέως gen. < Μωϋσής;
καθαρίζω purify.

Some sayings attributed to Diogenes the Cynic (late 4th c. BC)

1. πενία αὐτοδίδακτος.
2. νεκρὸν ἰατρεύειν καὶ γέροντα νουθετεῖν ταὐτόν ἐστι.
3. ἀεὶ γέροντι νέαν ἐπιβάλλει κόρην.
4. ἀεὶ κολοιὸς πρὸς κολοιὸν ἱζάνει.
5. ὁ δύο πτῶκας διώκων οὐδέτερον καταλαμβάνει.
6. ὁ πίθηκος οὐκ αὖθις ἁλίσκεται πάγῃ.
7. ἐν μέλιτι σαυτὸν καταπάττει.
8 ἐν ἐλεφαντίνῳ κολεῷ μολυβδίνη μάχαιρα.
9. ὄνου πόκον ζητεῖ.

αὐτοδίδακτος self-taught;
ἰατρεύω treat (medically);
νουθετέω give advice;
ταὐτον the same;
ἐπιβάλλω lay on (as a penalty or tax);
κόρη young girl;
κολοιός jackdaw;
ἱζάνω sit;
πτώξ hare;
πίθηκος ape;
αὖθις again;
ἁλίσκομαι be caught;
πάγη trap.
σαυτόν yourself;
καταπάττω bespatter;
ἐλεφαντίνος ivory;
κολεόν scabbard;
μολυβδίνος of lead;
μάχαιρα sword;.
πόκος fleece.

Τῶν ἑπτὰ σοφῶν ἀποφθέγματα

1. Κλεόβουλος Εὐαγόρου Λίνδιος ἔφη·
   Μέτρον ἄριστον.
   Φιλήκοον εἶναι καὶ μὴ πολύλαλον.

2. Σόλων Ἐξηκεστίδου Ἀθηναῖος ἔφη·
   Ἡδονὴν φεῦγε, ἥτις λύπην τίκτει.
   Συμβούλευε μὴ τὰ ἥδιστα, ἀλλὰ τὰ βέλτιστα.

3. Χείλων Δαμαγήτου Λακεδαιμόνιος ἔφη·
   Τῷ δυστυχοῦντι μὴ ἐπιγέλα.
   Ἡ γλῶσσά σου μὴ προτρεχέτω τοῦ νοῦ.

4. Θαλῆς Ἐξαμίου Μιλήσιος ἔφη·
   Χαλεπὸν τὸ εὖ γνῶναι.
   Μὴ πᾶσι πίστευε.

5. Πιττακὸς Ὑρραδίου Λέσβιος ἔφη·
   Ὃ μέλλεις ποιεῖν, μὴ λέγε· ἀποτυχὼν γὰρ καταγελασθήσῃ.
   Πιστὸν γῆ, ἄπιστον θάλασσα.

6. Βίας Τευταμίδου Πριηνεὺς ἔφη·
   Οἱ πλεῖστοι ἄνθρωποι κακοί.
   Μίσει τὸ ταχὺ λαλεῖν, μὴ ἁμάρτῃς· μετάνοια γὰρ ἀκολουθεῖ.

7. Περίανδρος Κυψέλου Κορίνθιος ἔφη·
   Μὴ μόνον τοὺς ἁμαρτάνοντας κόλαζε, ἀλλὰ καὶ τοὺς μέλλοντας κώλυε.
   Δυστυχῶν κρύπτε, ἵνα μὴ τοὺς ἐχθροὺς εὐφράνῃς.

ἀποφθέγμα *terse, pointed statement*
συμβουλεύω *counsel*
δυστυχέω *be unlucky*
ἐπιγελάω *laugh at*
καταγελασθήσῃ 2.s.fut.pass. < καταγελάω *mock*
πιστός *trustworthy*
ἄπιστος *untrustworthy*
πλεῖστος superlative < πολύς
ἁμάρτῃς 2.s.aor.subjunctive < ἁμαρτάνω *miss the mark*
μετάνοια *change of mind; repentance*
ἀκολουθέω *follow*
προτρεχέτω 3.s.imperative < προτρέχω *run in front*
ἀποτυχών aor.part. < ἀποτυγχάνω *miss, lose, fail*
κωλύω *hinder, prevent*
κρύπτω *hide*
ἵνα *in order that* (introducing purpose clause)
ἐχθρός *emeny*
εὐφράνῃς 2.s.aor.subjunctive < εὐφραίνω *cheer, please*

Greek-English Vocabulary

A

ἄβυσσος (-ου) f. bottomless pit
ἀγαθός good
ἀγαπάω love
ἀγαπή (-ης) love
ἀγαπήτος beloved
ἀγγέλλω announce, report
ἄγγελος (-ου) messenger
ἅγιος holy (οἱ ἅγιοι saints)
ἁγνός sacred
ἀγορά (-ας) market-place
ἄγριος living in the fields; wild, savage
ἀγρός (-ου) field
ἄγω (ἤγαγον) bring, fetch, lead
ἀγών (-ωνος) struggle, trial
ἀδελφός (-ου) brother
ἀδικέω do wrong
ἀδικία (-ας) injustice; vice
ἀδολεσχία (-ας) idle talk
ἀδόλεσχος (-ου) idle talker, chatterer
ἄδολος without guile; honest
ἀεί always; continually; from time to time
ἀείζωος ever-living
ἀεργός (-ου) unemployed; idle
ἀηδών (-ονος) nightingale
ἀθλιός wretched, miserable
ἆθλον (-ου) prize
αἰδοῖα n.pl. private parts
αἰέν = ἀεί
αἴλουρος (-ου) cat
αἷμα (-ατος) n. blood
αἱρέω seize, take, capture
αἴρω lift up, raise; bear
αἰτία (-ας) reason; cause
αἴτιον (-ου) reason; cause
αἰών (-ῶνος) m./f. lifetime; era
αἰώνιος eternal
ἀκατασκεύαστος unmade, unprepared
ἀκίνητος unmoving
ἀκμή (-ης) point; highest point
ἀκούω hear
ἀλάβαστρον (-ου) alabaster
ἀλήθεια (-ας) truth
ἀληθής true
ἀληθινός true
ἀληθῶς truly
ἀλλά but
ἄλλ' ἤ other than, except
ἄλλος (an)other
ἀλλότριος of another
ἄλυπος without grief
ἀλώπηξ (-εκος) fox
ἀμαθία (-ας) ignorance
ἁμάρτημα (-ματος) n. error, mistake; sin
ἁμαρτία (-ας) error, mistake; sin
ἀμην truly (NT - a Hebrew word)
ἄμνος (-ου) lamb
ἄμπελος (-ου) f. vineyard
ἀναβαίνω climb, mount up, board (a ship)
ἀνάγκη (-ης) necessity. compulsion
ἄναξ (ἄνακτος) king
ἀνάξιος unworthy
ἀναρχία (-ης) anarchy
ἀνατροφή (-ης) rearing, education
ἀναφαίρετος which cannot be taken away
ἄνεμος (-ου) wind

ἀνέτοιμος not ready; unobtainable
ἄνευ without (+ gen.)
ἀνήρ (ἀνδρός) man; husband
ἄνθος (-εος) n. flower
ἀνθρώπινος human
ἀνθρωποκτόνος homicidal
ἄνθρωπος (-ου) human being
ἀνόητος foolish
ἀντί instead of (+ gen.)
ἄνω upward
ἄξιος worthy
ἀόρατος invisible
ἀπαραίτητος pitiless
ἅπας quite all
ἀπειλή (-ης) threat
ἀπό (+ gen) from
ἀποθνήσκω die
ἀποκαλύψις (-εως) an uncovering
ἀπόλλυμι destroy (mid. perish, die)
ἀποσβέννυμι extinguish
ἀποστέλλω send away
ἀπόστολος (-ου) apostle
ἀποτρέχω run off;
ἅπτω kindle
ἆρα particle marking a question;
ἀράχνης spider
ἀργός idle;
ἀρέσκω be pleasing
ἀρετή (-ης) excellence, virtue
ἄριστος best
ἀρκέω suffice; (pass.) be satisified with (+dat.)
ἄρκτος (-ου) bear
ἄρσην (ἄρσενος) male
ἄρτι just now, even now
ἄρτος (-ου) bread, loaf of bread
ἀρχή (-ης) beginning; rule; office
ἀρχιερεύς (-εως) high priest
ἄρχομαι (mid.) begin
ἀτιμία (-ας) dishonour
αὔριον tomorrow
αὐτοδίδακτος self-taught
αὐτός / αὐτή / αὐτό he / she / it
ἀφροδίσιος to do with sex
ἄφρων (-ονος) foolish

B

βαδίζω walk, go
βαίνω (ἔβην) go
βάλλω (ἔβαλον) throw, hit
βαπτίζω baptise
βάρβαρος foreign
βασιλεία (-ας) kingdom
βασίλεια τά palace
βασιλεύς (-εως) king
βασιλεύω be king
βαστάζω lift, raise, bear, carry
βάτραχος frog;
βαύζω bark
βδέλυγμα (-ατος) n. abomination
βέβαιος firm, secure, sure, steadfast
βίαιος violent
βίος (-ου) life, livelihood
βιός (-ου) bow
βλασφημέω speak amiss of sacred things
βλασφημία (-ας) blasphemy
βλέπω look, see
βόρβορος (-ου) mud, mire
βούλη (-ης) will; counsel
βουλιμία ravenous hunger
βούλομαι wish, want
βροντή (-ης) thunder
βροτός (-ου) mortal; human
βρῶσις (-εως) f. food

Γ

γάλα (γάλακτος) n. milk
γαμέω marry
γάμος (-ου) marriage
γάρ because, for (conj.) (2nd in clause)
γε particle emphasising the previous word
γείτων (-ονος) neighbour
γεμίζω fill up
γένεσις (-εως) origin, creation
γενναῖος noble
γεννῆμα (-ατος) n. offspring
γένος (-ους) n. race, family
γέρων (-οντος) old man
γεωργός (-ου) farmer
γεωργέω farm
γῆ (-ης) land, country, earth
γίγνομαι / γίνομαι (ἐγενόμην) become, be
γιγνώσκω / γινώσκω (ἔγνων) know
γλαῦξ (-κος) grey owl
γλυκαίνω sweeten
γλυκύς sweet
γλῶσσα (Att. γλῶττα) tongue
γράμμα (-ατος) n. thing drawn; letter
γράφω write, draw
γυμνός naked
γυνή (γυναικός) woman; wife
γωνία (-ας) f. corner

Δ

δάκνω (ἔδακον) bite
δέ but (2nd in clause)
δεῖ it is necessary
δεινός terrible; clever
δένδρον (-ου) tree
δεσπότης (-ου) master
δεύτερος second
δέω bind, tie
δή (emphasising particle) 'in fact'
διά (+ gen) through; (+ acc) on account of (but in NT διά + gen = on account of)
διαβαίνω cross
διαβολή (-ης) slander
διαθήκη (-ης) will, testament; covenant
δίαιτα (-ης) regimen, diet
διαρρήγνυμι (διέρρηξα) split, tear
διασπορά (-ας) dispersion
διδάσκαλος (-ου) teacher
διδάσκω teach
δίδωμι (ἔδωκα) give (root δο- / δω-)
δίκαιος just;
δίκη (-ης) justice
διότι because
διπλοῦς twofold, double
δίς twice
διώκω pursue; persecute
δοκέω seem; seem right
δόμος (-ου) house
δόξα (-ης) reputation; glory
δοῦλος (-ου) slave; (NT) servant
δρᾶμα (δραματος) deed, act; drama
δραστήριος active;
δρόμος (-ου) race; race-course
δύναμαι (mid.) be able
δύναμις (-εως) f. power
δυνατός possible; able; powerful
δύο two
δύσκολος difficult
δύσμαχος hard to fight with; difficult
δύστηνος wretched
δώδεκα twelve
δῶμα (-ατος) n. room; (pl.) house

E

ἐγείρω stir; raise
ἐγώ I
(ἐ)θέλω be willing, wish
εἰ if
εἶδον aor. < ὁράω see
εἰκάζω liken, compare
εἰμί be (inf. εἶναι)
εἰρήνη (-ης) peace
εἰς / ἐς (+ acc) to, into
εἷς / μία / ἕν one
εἶτα next
εἴτε ... εἴτε either ...or (εἰ + τε)
ἐκ (+ gen.) from; out of
ἕκαστος each
ἐκβάλλω throw out; produce
ἐκεῖ there
ἐκλεκτός chosen
ἐκπλήττω astound
ἐκχύνω pour out
ἔλαιον (-ου) olive-oil
ἐλάχιστος least
ἐλέγχω refute
ἐλεύθερος free
ἐλέφας (-αντος) elephant; ivory
ἐλπίς (-ιδος) f. hope
ἐμβαίνω step into
ἐμποίνιμος liable to punishment
ἔμπροσθεν (+ gen) in front of, before
ἐν (+ dat) in, at
ἔνδοξος of high repute
ἐνταῦθα there
ἐντολή (-ης) command
ἐνώτιον (-ου) ear-ring
ἐξ / ἐκ (+ gen) from; out of
ἔξοδος a going out; a way out
ἑορτή (-ης) festival, holiday
ἔπαινος (-ου) praise
ἐπάνω upon
ἐπεί when; since
ἐπειδή when (ἐπεί + δή)
ἐπί (+ acc) to, up to, towards, against; (+ gen) on; (+ dat) on, over, at
ἐπιβαίνω mount
ἐπιβάλλω cast upon
ἐπιθυμία (-ας) desire
ἐπιρρέω flow upon (+ dat.)
ἐπιστολή (-ης) letter
ἐπιφέρω (ἐπήνεγκα) bring, put or lay upon
ἐπιχέω pour over
ἐργάτης (-ου) workman
ἔργον (-ου) work, deed, function
ἐρημία (-ας) desert
ἐρῆμος (Att. ἔρημος) bereft, deserted
ἑρμής herm
ἐρῶ future < λέγω
ἔρχομαι (ἦλθον) come, go
ἐσθίω (ἔφαγον) eat
ἔσχατος last
ἕτερος other; different
ἔτι yet, still, any longer
ἕτοιμος ready, at hand, feasible
εὖ (adv.) well
εὐαγγελιστής bringer of good news
εὐδοξία (-ας) good repute, honour, glory
εὐλογέω bless
εὐπραξία (-ας) good conduct
εὑρίσκω (ηὗρον) find
εὐσέβεια (-ας) piety
εὐφραίνω gladden
εὐφρόνη (-ης) night
εὐχαριστέω give thanks

ἔχθρα (-ας) hostility
ἐχθρός hostile
ἔχιδνα (-ης) viper
ἔχω (ἔσχον) have, hold
ἕως (+ gen) until

Z

ζάω (ἔζην) live
ζητέω seek
ζυγόν (-ου) yoke
ζωή (-ης) life
ζῶον (-ου) animal

H

ἤ than; or (ἤ... ἤ either...or)
ἦ / ἦν 1.s.imperf. < εἰμί
ἡβάω be young
ἤγαγον aor. < ἄγω
ἤδη now, already
ἥδομαι be pleased, take pleasure
ἡδύς (-εια / -υ) sweet, pleasant
ἦλθον aor. < ἔρχομαι
ἥλιος (-ου) sun
ἡμέρα (-ας) day
ἥμισυς (-εια / -υ) half
ηὗρον aor. < εὑρίσκω

Θ

θάλασσα / θάλαττα (-ης) sea
θαλάττιος seafaring
θάνατος (-ου) death
θάπτω (ἔταφον) bury
θᾶττον more quickly
θαῦμα (-ατος) wonder, prodigy
θαυμάζω wonder; be amazed
(ἐ)θέλω (ἤθελον) be willing, wish
θεός (-ου) god
θεραπεῖα (-ας) service; care; (medical) treatment
θεραπεύω serve; worship; nurse
θεράπων (-οντος) m. servant
θερίζω harvest, reap
θερμός hot
θέρος (-ους) n. summer
θῆρ (θηρός) m. beast
θηρεύω hunt
θηρίον (-ου) diminutive < θῆρ
θησαυρός (-ου) treasury, storehouse treasure
θρόνος (-ου) seat
θυγάτηρ (θυγατρός) daughter
θύελλα (-ας) hurricane
θυμός (-ου) impulse; spirit; anger
θύρα (-ας) door
θύω sacrifice

I

ἰατρεύω cure, heal, treat medically
ἰατρός (-ου) doctor
ἴδε see, behold! (imperative < ὁράω)
ἰδεῖν aor.inf. < ὁράω
ἴδιος private, one's own
ἰδού see, behold! (imperative < ὁράω)
ἱερεύς (-εως) m. priest
ἱερός holy
ἱζάνω sit
ἱκανός enough
ἱκέτης (-ου) a suppliant
ἱμάτιον (-ου) an outer garment; (pl. clothes)
ἰοβόλος poisonous
ἵππος (-ου) horse
ἴσος equal
ἰχθύς (-υος) m. fish
ἴχνος (-ους) n. track, spoor

Κ

καγχαλάω rejoice, exult
καθαίρω purify; purge
καθάπερ just as (κατά + ἅπερ)
καθαρός pure
καθεύδω sleep
καθώς just as
καί and; also; even
καινός new
καίπερ although (+ participle)
καιρός right time
κακός evil, bad, cowardly, base
κακόφρων (-ονα) malicious
καλέω call
κάλλος (-ους) n. beauty
καλός fine, beautiful
κάνθαρος (-ου) beetle
καπνός (-ου) smoke
καρδία (-ας) heart
καρκίνος (-ου) crab
καρπός (-ου) harvest, fruit
κατά (+ acc) according to; (+ gen) down along
καταλαμβάνω catch, seize; understand
καταπλήττω astound; terrify
καταστροφή (-ης) a sudden end
κατηγορέω accuse, denounce
κατήγορος (-ου) prosecutor
κάτω downward; below
καχάζω laugh aloud; jeer
κεῖμαι lie
κείρω shear, clip (the hair)
κελεύω command, order
κέντρον (-ου) any pointed thing; goad; sting; centre (of a circle)
κέρας (-ατος) n. horn
κέρκος (-ου) tail
κεφαλή (-ης) head
κῆρυξ (-υκος) m. herald
κίνδυνος (-ου) danger
κιχλή thrush
κλάω break, break off
κλαίω cry, weep
κλέπτης (-ης) thief
κλέπτω steal
κλητός called
κνώδαλον (-ου) monster
κοινός common, shared
κόκκυξ (κοκκῦγος) m. cuckoo
κολοιός jackdaw
κομίζω carry, bring
κόπος (-ου) beating; fatigue
κόραξ (-ακος) raven, crow, rook
κόρος (-ου) surfeit
κορώνη (-ης) chough, sea-crow
κόσμος (-ου) order; world; adornment
κούφος light; nimble
κράζω shriek
κραταιός strong, mighty
κρείσσων (κρεῖσσον) (Attic κρείττων) stronger; better
κρέξ corncrake
κρίνω (ἔκρινα) judge
κριτής (-ου) judge
κροκόδειλος (-ου) crocodile
κρύπτω hide
κτῆμα (-ατος) n. possession
κυάμος (-ου) bean
κυβερνήτης (-ου) helmsman, captain
κύκλος (-ου) circle
κυλίνδω roll
κῦμα (-ατος) n. wave
κυνηγός (-ου) huntsman

κύριος (-ου) lord
κύων (κυνός) hound
κώνωψ (-ωπος) m. gnat

Λ

λαγωός (-ου) hare
λαγώς (λαγώ) hare
λαῖλαψ (-απος) f. tempest
λακτίζω kick
λαλέω chatter; speak (NT)
λαλία (-ας) chatter, gossip (NT speech)
λαμβάνω (ἔλαβον) take. seize
λαμπάς (-αδος) f. torch
λαός (-ου) (Att. λεώς) army; people
λατρεύω serve; worship
λέγω (εἶπον) say
λείπω (ἔλιπον) leave
λευκός white
λέων (-οντος) lion
λήθη (-ης) forgetting
λίθος (-ου) stone
λίμνη (-ης) marsh
λιμός (-ου) famine
λογισμός (-ου) calculation
λόγος (-ου) word, speech
λοίδορος abusive
λύκος (-ου) wolf
λύπη (-ης) sorrow, grief
λύσις (-εως) loosing, releasing
λύχνος (-ου) lamp
λύω loose

Μ

μάθημα (-ατος) lesson; learning
μαθητής (-ου) pupil; disciple
μακάριος blessed, happy
μακρός long
μάλα rather, much
μάλιστα most (superlative < μάλα)
μᾶλλον more; rather (comparative < μάλα)
μανθάνω (ἔμαθον) learn
μανία (-ας) madness
μαντεῖον (-ου) oracle
μαντικός of soothsayers
μάρτυρ (-υρος) m. witness
μέ acc. < ἐγώ
μέγας / μεγάλη / μέγα great; large
μεθύω be drunk
μείζων greater
μέλας / μελαίνα/ μέλαν black
μέλι (μέλιτος) n. honey
μέλλω be about to
μέλω be a care
μέν ... δέ come second in each of two contrasted clauses
μένω (ἔμεινα) remain
μετά (+ acc) after; (+ gen) with
μετάνοια (-ας) change of mind; repentance
μέτρον (ου) measure
μέτωπον (ου) forehead
μή not
μήτηρ (μητρός) mother
μηχανή (-ης) device
μιαίνω stain, defile
μικρός small
μισέω hate
μισθός (-ου) pay, reward
μνήμη (-ης) memory
μοιχεύω commit adultery
μόναρχος monarch;
μόνος alone
μου my (gen. < ἐγώ)
Μοῦσα (-ης) Muse
μουσικός to do with the Muses
μῦθος (ου) word; tale

μυία (-ας) fly
μῦς (μυός) mouse
μυστήριον (-ου) mystery
μωρία (-ας) folly
μωρός foolish

N
ναύτης (-ου) sailor
νεανίας (-ου) young man
νεκρός (-ου) corpse
νέκυς (-υος) corpse
νέος new; young
νήπιος infantile; foolish
νῆσος (-ου) f. island
νικάω win, defeat
νίκη (-ης) victory
νομίζω reckon, consider;
νόμος (-ου) law
νοσέω be ill
νόσος (-ου) f. illness, disease, plague
νουθετέω advise; admonish
νοῦς (νοῦ) m. mind
νῦν now (of time)
νύξ (νυκτός) f. night

Ξ
ξένος (-ου) stranger, guest
ξηρός dry
ξίφος (-ους) sword
ξύλον (-ου) wood; log

O
ὅδε this
ὁδός (-ου) f. way, road
ὄζω smell
οἶδα know
οἰκέω inhabit, dwell in
οἰκία (-ας) house
οἶκος (-ου) house
οἶνος (-ου) wine
ὄλεθρος (-ου) ruin, destruction
ὀλέθριος destructive
ὀλίγος little; (pl.) few
ὀλιγοχρόνιος of short duration
ὅλος whole
ὅμοιος like
ὄναρ (-αρος) n. dream
ὄνομα (-ατος) name
ὄνος (-ου) ass
ὄνυξ (-ύχος) nail, claw, talon
ὀξύς sharp, keen, swift
ὅπου where/wherever
ὁράω (εἶδον) see
ὄργανον (-ου) tool, instrument, organ
ὀργή (-ης) anger
ὀρθόω set straight; guide aright
ὅρκος (-ου) oath
ὀρφανός without parents
ὀρχέομαι (mid.) dance
ὅς / ἥ /ὅ who, which (relative pronoun)
ὀσφραίνομαι (+ gen.) catch scent of; track
ὅτε when
ὅτι because; that
οὐ / οὐκ / οὐχ not
οὐδέ nor; not even
οὐδείς / οὐδεμία / οὐδέν no one, nothing
οὐδέτερος neither
οὖν so, therefore, then
οὐρανός (-ου) heaven, sky
οὖς (ὠτός) n. ear
οὔτε neither, nor
οὗτος / αὕτη / τοῦτο this
οὕτως / οὕτω thus, in the same way
ὀφθαλμός (-ου) eye

ὄχλος (-ου) mob, crowd
ὀψώνιον (-ου) pay

Π

πάθημα (-ατος) suffering
παιδεία (-ας) education
παιδεύω teach, train
παῖς (παιδός) child
παλαιός old, ancient
πάλιν again
παράγγελμα (ατος) n. message passed on
παρά beside (+ acc. to the side; + gen. from the side; + dat. at the side)
παραβολή (-ης) comparison
παράγομαι pass away
παράδεισος (-ου) park; paradise
παραδίδωμι hand over
παραλαμβάνω take along
παραμυθία (-ας) consolation, diversion
πάρειμι be present
παρέχω supply
παρθένος (-ου) f. virgin, maid
πᾶς / πᾶσα / πᾶν all, every (stem παντ-)
πάσχω (ἔπαθον) suffer, experience
πατήρ (πατρός) father
παύω stop
παφλάζω bluster
πειθαρχία (-ας) obedience to command
πέμπω send
πένης (-ητος) m. day-labourer; poor man
πενία (-ας) poverty
πέντε five
περί (+ acc) about, near; (+ gen) about, concerning; (+ dat) about, around, concerning
περιπατέω walk about
περίπατος (-ου) walking about
περίσσευμα (-ατος) n. abundance
πηδάλιον (-ου) steering oar, rudder
πηλός mud; mire;
πίνω (ἔπιον) drink
πιππίζω cheep
πίπτω (ἔπεσον) fall
πιστεύω trust, believe (+ dat.)
πίστις (-εως) f. faith
πίστος faithful, trustworthy
πλάνος wandering; leading astray
πλεῖστος most
πλέκω weave, plait
πλεονεξία (-ας) greed
πλήν (+ gen) except
πλοῖον (-ου) vessel, merchant ship
πλούσιος wealthy
πλουτέω be rich
πλοῦτος (-ου) wealth
πνεῦμα (-ατος) breath, spirit
ποιέω do, make
ποικίλος embroidered, variegated, changeful, intricate
πόκος (-ου) fleece
πολέμιος hostile
πόλεμος (-ου) war
πόλις (-εως) f. city
πολίτης (-ου) citizen
πολιτεία form of government, constitution
πολλάκις often
πολυαρχία (-ας) the government of many
πολυμαθία much learning
πολύς / πολλή / πολύ much, many
πολυτέλεια (-ας) great expense
πονηρός wicked

πορεύομαι (mid.) march, go
πόρνη (-ης) harlot
πόσις (-εως) f. drink
ποταμός (-ου) river
ποτέ once; ever
ποτήριον (-ου) cup
ποῦ where
πρᾶγμα (-ατος) thing, matter, affair
πράσσω (Att. πράττω) do, act
πρέπω be fitting
πρεσβύτερος (-ου) elder
προδίδωμι betray
πρός (+ acc) towards, with; (+ gen) from, facing towards; (+ dat) at
πρόσωπον (-ου) face
πρύμνη (-ης) stern
προσκεφάλαιον (-ου) pillow
πρόσωπον (-ου) face
πρῶτος first
πτύω spit
πτωχός (-ου) beggar; (NT poor)
πτώξ (πτωκός) hare
πύλη (-ης) gate
πῦρ (πυρός) n. fire
πῶς how

Ρ

ῥάδιος easy
ῥῆμα (-ατος) thing said; word, saying
ῥίπτω throw
ῥίς (ῥινός) f. nose
ῥόδον (-ου) rose

Σ

σάββατος (-ου) sabbath
σάλπιγξ (-ιγγος) f. trumpet
σαπρός rotten
σάρξ (σαρκός) flesh
σαφηνίζω make clear;
σβεννύω extinguish
σελήνη (-ης) moon
σεμνός revered, wonderful; reverend, solemn; haughty
σημαίνω indicate, show by a sign
σήμερον today
σιγάω be silent
σιγή (-ης) silence
σκανδαλίζω cause to stumble
σκάνδαλον (-ου) cause of stumbling
σκέπη (-ης) shelter, covering
σκιά (-ας) shadow
σκίλλη (-ης) sea-onion
σκόρπιος (-ου) scorpion
σκοτία (-ας) darkness
σκότος (-ου) darkness
σοί dat. < σέ
σοῦ your (gen. < σύ)
σοφία (-ας) wisdom
σοφός wise
σπείρω (ἔσπειρα) sow
σπέρμα (-ατος) n. seed
σπουδαῖος earnest, serious; good
στάθμη (-ης) chalked line
στέργω be fond of
στέφανος (-ου) crown; wreath
στιγμή (-ης) point
στόμα (-ατος) n. mouth
στραβός squinting
στρατεία military campaign
στρατηγός (-ου) general
στρατιώτης (-ου) soldier
στῦλος (-ου) pillar
σύ you
σύμμαχος (-ου) ally
συμφορά (-ας) mishap, misfortune
σύν (+ dat) with

συνετός intelligent
συνήγορος (-ου) advocate
σφόδρα (adverb) very much;
σχοινίον (-ου) rope;
σῶμα (-ατος) n. body
σωφροσύνη (-ης) moderation, temperance, good sense

Τ

ταλαιπωρία distress;
ταμεῖον (-ου) treasury
ταραγμός (-ου) disturbance
ταῦρος (-ου) bull
ταχέως adverb < ταχύς
ταχύς (-εῖα -ύ) quick;
τε and (τε ... καί both ... and)
τέκνον (-ου) child
τέλος (-ους) n. end
τελευτάω end; die
τελευτή (-ης) end
τέταρτος fourth
τέχνη (-ης) art, skill
τί; why?
τίκτω (ἔτεκον) beget/bear a child
τιμή (-ης) honour
τις (stem τιν-) anyone, anything
τίς; who? what?
τί why?
τιτρώσκω wound
τοιοῦτος such a sort;
τόξον (-ου) bow
τοξεύω shoot (an arrow)
τόπος (-ου) place
τότε then
τρεῖς / τρία three
τρέχω (ἔδραμον) run
τρίτος third
τρόπος (-ου) way, manner, habit
τρυφή (-ης) luxury
τρώγω nibble, munch; (NT) eat
τυρός (-ου) cheese
τυφλός blind
τυφλόω make blind
τύχη (-ης) fortune

Υ

ὕβρις (-εως) f. wanton violence; insolence
ὑγιαίνω be healthy
ὑγρός wet, moist
ὕδρα (-ας) water-snake;
ὕδωρ (ὕδατος) n. water
υἱός (-ου) son
ὑμεῖς you (pl.)
ὑμέτερος your, yours (plural)
ὑπάγω go
ὑπέρ (+ acc.) above; (+ gen) for, on behalf of
ὑπερνικάω win by far
ὕπνος (-ου) sleep
ὑποπτεύω be suspicious
ὗς (ὑός) swine
ὕστερον (adverb) later

Φ

φαίνω (ἔφηνα) (act.) shine, show; (pass.) appear
φάρμακον (-ου) drug; poison; charm;
φαῦλος paltry, mean, poor
φέρω (ἤνεγκα) bear, carry, bring, endure
φεύγω (ἔφυγον) flee
φήμη (-ης) rumour; report; fame
φημί (ἔφην) say
φθέγγομαι (mid.) utter a sound, speak
φιλάργυρος (-ου) lover of money

φιλέω love
φιλία (-ας) friendship
φίλος dear; friend
φλύαρος (-ου) silly talker, babbler
φοβέομαι fear
φόβος (-ου) fear
φονεύω murder
φορολογέω levy tribute
φρόνησις (-εως) f. wisdom
φρόνιμος wise
φῦκος (-ους) n. sea-weed
φύλαξ (-ακος) m. guard
φυλάσσω (Att. -ττω) guard, watch
φυλή (-ης) race, tribe
φύω (ἔφυν) grow; be
φῶς < φάος (φάους/φωτός) n. light

Χ

χαίρω rejoice (used as a greeting in letters)
χαλεπός difficult
χαλινός (-ου) bridle, bit
χάρις (-ιτος) f. grace, favour; χάριν ἔχω be grateful
χειμών (-ωνος) m. winter, storm
χῆρα (-ας) widow
χόρτος (-ου) fodder
χρεία (-ας) use, need
χρέμπτομαι clear the throat
χρήζω need (+ gen.)
χρηστός useful, good
χρυσός gold, golden
χρόνος (-ου) time
χωρίς (+ gen) without
χωρισμός (-ου) separation

Ψ

ψάμμος (-ου) f. sand
ψευδής lying
ψεύδω cheat by lies
ψιθυρίζω whisper
ψόγος blame
ψύχη (-ης) soul
ψυχρός cold

Ω

ὠόν (-ου) egg
ὥρα (-ας) time, hour, season
ὡς when; that; because; how
ὡσεί as if, like
ὥσπερ just as
ὥστε so that; so as to

Useful websites

Textkit: http://www.textkit.com/

Ancient Greek Tutorials: http://socrates.berkeley.edu/~ancgreek/ancient_greek_start.html

Perseus: http://perseus.mpiwg-berlin.mpg.de/

LATO: https://sites.google.com/site/ancienttexts/

Listen to Greek: http://www.rhapsodes.fll.vt.edu/Greek.htm